A ἀκύμονος δὲ ὄντος τοῦ κατ' αὐτὴν τόπου, γαλήνην ἐν τῇ ῥίψει αὐτοῦ συμβαίνει γίνεσθαι, ὅτι συγκαταβὰς ὁ ἀὴρ τῷ ἐνεχθέντι κάτω, ἀναφερόμενος καὶ ὠθῶν ἄνω τὴν θάλατταν, καθάπερ πομφολυγοῖ αὐτήν. ἡ γὰρ πομφόλυξ, ὑγροῦ ὑπὸ ἀέρος κάτωθεν ἀναθλιβομένου ἐστίν. πομφόλυξ δὲ πᾶσα, λεία καὶ γαληνός ἐστι. σημεῖα δὲ τοῦ εἰρημένου ἐστί· μετέωρος γὰρ ἡ κατὰ τὸ ἐνεχθὲν κάτω θάλαττα τῆς πέριξ γίνεται μικρὸν

B ὕστερον. ε Διὰ τί ἐνίοτε πλοῖα θέοντα ἐν τῇ θαλάττῃ, εὐδίας καταπίνεται καὶ ἀφανῆ γίνεται, ὥστε μηδὲ ναυάγιον ἀναπλεῖν; ἢ ὅταν ἀντρώδης τόπος ἐν τῇ ὑπὸ τὴν θάλατταν γῇ ῥαγῇ, ἅμα εἰς τὴν θάλατταν καὶ ἔσω ἀκολουθεῖ τῇ τοῦ πνεύματος φορᾷ; ὁμοίως δὲ καὶ πάντῃ φερομένη κύκλῳ, φέρεται κάτω. τοῦτο δ' ἐστὶ δῖνος. τὰ δὲ περὶ Μεσσήνην ἐν τῷ πορθμῷ, πά-

C σχει μὲν τοῦτο διὰ τὸν ῥοῦν, (γίνονται γὰρ αἱ δῖναι ὑπὸ τούτου) καὶ καταπίνεται εἰς βυθόν, διὰ ταῦτά τε, καὶ ὅτι θάλαττά τε βαθεῖα καὶ γῆ ὕπαντρος μέχρι πόρρω. φέρουσιν οὖν εἰς ταῦτα ἀποβιαζόμεναι αἱ δῖναι· διὸ οὐκ ἀναπλεῖ αὐτόθι τὰ ναυάγια. ὁ δὲ ῥοῦς γίνεται, ὅταν παυσαμένου τοῦ προτέρου, ἀντιπνεύσῃ ἐπὶ τῆς θαλάσσης ῥεούσης τῷ προτέρῳ πνεύματι· μάλιστα

D δὲ, ὅταν νότος ἀντιπνεύσῃ. ἀντιπνέοντα γὰρ ἀλλήλοις τὰ ῥεύματα, παρεκθλίβεται, ὥσπερ ἐν τοῖς ποταμοῖς, καὶ γίνονται αἱ δῖναι. φέρεται γὰρ ἐλιττομένη ἡ ἀρχὴ τῆς κινήσεως, ἄνωθεν ἰσχυρὰ οὖσα. ἐπεὶ οὖν εἰς πλάγιον οὐκ ἔστιν ὁρμᾶν, (ἀντωθεῖται γὰρ ὑπ' ἀλλήλων) ἀνάγκη εἰς βάθος ὠθεῖσθαι. ὥστε καὶ ὃ ἂν ληφθῇ ὑπὸ τῆς δίνης, ἀνάγκη συγκαταφέρεσθαι. διὸ ἀνάσιμα τὰ πλοῖα ποιοῦνται. ἤδη γὰρ ὀρθὸν

E ποτε μνημονεύεται καταποθέν. ς Διὰ τί ἡ θάλαττα λευκοτέρα ἡ ἐν τῷ Πόντῳ, ἢ ἐν τῷ Αἰγαίῳ; πότερον διὰ τὴν ἀνάκλασιν τῆς ὄψεως τὴν γινομένην ἀπὸ τῆς θαλάττης εἰς τὸν ἀέρα; ὁ μὲν γὰρ περὶ τὸν Πόντον ἀήρ, παχὺς καὶ λευκός· (ὥστε καὶ τῆς θαλάττης ἡ ἐπιφάνεια τοιαύτη φαίνεται) ὁ δὲ ἐν τῷ Αἰγαίῳ, κυανοῖς, διὰ τὸ μέχρι πόρρω εἶναι καθαρός·

F ὥστε καὶ ἡ θάλασσα ἀνταυγοῦσα, τοιαύτη φαίνεται. ἢ ὅτι πᾶσαι αἱ λίμναι, λευκότεραι τῆς θαλάσσης; ὁ δὲ Πόντος, ἐστὶ λιμνώδης, διὰ τὸ πολλοὺς ποταμοὺς εἰς αὐτὸν ῥεῖν.

Quod cùm itaque fluctibus pars ea vertiginosa careat, meritò vnda, iacta anchora, residet, tranquillatúrque. Adde quòd aer qui cùm pondere illo delapso descendit, mox sese referens, vndámque sursum cōpellens, bullas excitat: quippe cùm bulla humore consistat, qui de imis ad supera pulsus ab aere efferatur. Omnis autem bulla lenis, serenáque est. Indiciū verò, quòd vnda, quà pondus in imum corruit, submissa in cauū paulo post resurgit, & mari circundanti æquiparatur. 5 Cur interdum nauigia, dum cursum agunt, in mari quieto repentè absorbentur, totáque ita pereunt, vt ne naufragium quidem fluitās vsquam appareat? An cùm locus cauernosus terræ subditæ mari disrumpitur, simul in mare nauigia introrumpuntur, introrsúmque spiritus impetu trahuntur: cúmque impulsu pari circum vndique agitentur: deorsum ferantur necesse est. Hoc idem apud Messanam quoque in freto fluctu reciproco euenit. Fiunt enim eo ipso vertigines, quæ in imum absorbent, tum ob eam, quam diximus, causam, tum etiam quòd mare illud prealtum est, terráque ad lōginquum vsque subhiat cauernosa. Vertigines igitur eosque per vim ductitant: itáque efficitur, vt inibi fragmenta nulla valeant fluitare. Fluxus autem ille fieri solet, cùm flatu desistente priore, mari item fluente, flatus aduersus primo occurrit, maximéque cùm Auster. Cùm enim vndæ inuicem cursitant, inflictu prætereunt mutuo, quo scilicet modo in fluminibus fieri nouimus: atque ita in mare in gyrum vertitur, quæ vertigo, aut vertex vocata est. Fertur autem vnda in anfractum initio motus valido desuper irruente. Igitur cùm vndas vrgere in latus non liceat, (impulsu nanque repelluntur, mutuo) compelli prorsus in imum necessarium est. Quam ob rem id quoque deferri eōdem vnà cogitur, quod vertigo comprehenderit: eadémque causa est, cur etiam nauigia resimentur, repandáque deferantur, cùm deuorantur à vertigine. Iam enim aliqua erecta ex toto descendisse, memoriæ proditum est. 6 Cur mare Ponti candidius, quàm Ægæi est? Vtrum propter visus refractionem factum de mari in aerem. Est enim aer Ponti crassus, & albidus: itáque fit vt etiam maris pars summa talis esse videatur. Ægæi verò, quoniam à longinquis vsque purus, & liquidus est, cæruleus cernitur: quocirca mare quoque aëri renitēs, colorem eundem repræsentat. An quòd lacus omnes, quàm mare, candidiores sunt. Pontus autē in lacus speciem propemodū transit, eo quòd multi in eū fluuij effluūt.